Λυ. Εἶτ' ὦ Λάκωνες, πρὸς γὰρ ὑμᾶς τρέψομαι.
Οὐκ ἴσθ' ὅτ' ἐλθὼν δεῦρο Περικλείδης ποτὲ
Ὁ Λάκων Ἀθηναίων ἱκέτης καθέζετο
Ἐπὶ τοῖς βωμοῖς ὠχρὸς ἐν φοινικίδι
Στρατιὰν προσαιτῶν. ἡ δὲ Μεσσήνη τότε
Ὑμῖν ἐπέκειτο χ' ὦ θεὸς σείων ἅμα.
Ἐλθὼν δὲ σὺν ὁπλίταισι τετρακισχιλίοις
Κίμων ὅλην ἔσωσεν τὴν Λακεδαίμονα.
Ταυτὶ παθόντες τῶν Ἀθηναίων ὕπο
Δῃοῦτε χώραν ἧς ὑπ' εὖ πεπόνθατε.
Ἀθην. Ἀδικοῦσιν οὗτοι νὴ Δί' ὦ Λυσιστράτη.
Λα. Ἀδικοῦμες. ἀλλ' ὁ πρωκτὸς ἄφατος ὡς καλός.
Λυ. Ὑμᾶς δ' ἀφήσειν τοὺς Ἀθηναίους οἴει.
Οὐκ οἶσθ' ὅθ' ὑμᾶς οἱ Λάκωνες αὖθις αὖ
Κατωνάκας φοροῦντας, ἐλθόντες δορὶ
Πολλοὺς μὲν ἄνδρας Θετταλῶν ἀπώλεσαν.
Πολλοὺς δ' ἑτέρους ἱππίους καὶ ξυμμάχους
Ξυνεκμαχοῦντες τῇ τόθ' ἡμέρᾳ μόνοι
Κἀλευθέρωσαν, κἀντὶ τῆς κατωνάκης
Τὸν δῆμον ὑμῶν χλαῖναν ἠμπίσχον πάλιν.
Λα. Οὔπα γυναῖκ' ὄπωπα χαϊωτέραν.
Ἀθην. Ἐγὼ δὲ κύσθον γ' οὐδέπω καλλίονα.
Λυ. Τί δῆθ' ὑπηργμένων τε πολλῶν κἀγαθῶν
Μάχεσθε κοὐ παύεσθε τῆς μοχθηρίας.
Τί δ' οὐ διαλλάγητε. φέρε τί τοὐμποδών;

A *LVS. Deinde ô Lacones (namque vos nunc alloquor)*
*Nescitis vt quondam Periclides Laco*
*Oratione Athenienses supplici*
*Sedens ad aram, in Punico pallens sago*
*Exercitum rogabat: illo tempore*
*Messena vobis imminebat, & dei*
*Premebat ira: mille quattuor viris*
B *Cimon coactis, vniuersæ reddidit*
*Spartæ salutem: vos tamen solum Atticum*
*In vos beneficum & mune vastastis diu.*
*ATHE. Iniurij sunt, per Iouem, ô Lysistrata.*
*LAC. Lata ista culpa, at culus est latissimus.*
*LVS. Nec culpa abesse Athenienses dixerim.*
*Nescis vt olim vos quoque in Catonacis*
C *(Seruili amictu) adiuuerint Laconici*
*Armis corusci, plurimisque Thessalis*
*Occisione perditis, socijs, equis*
*Deprælian tes fortiter, soli die*
*Vos, inquam, in illa liberarant pallio*
*Plebem induentes pro schema vilis preti.*
*LA. Melior mihi vnquam visa non est fœmina.*
D *ATH. At vulua nunquam pulcrior visa est mihi.*
*LVS. Quum tot bona erga accepta sint & præbita*
*Cur sic libet pugnare, cur non desinit*
*Ærumna? quid vos esse concordes vetat?*

BISETVS. Εἶτ' ὦ Λάκωνες.] ἡ Λυσιστράτη μετὰ τὸν πρὸς τοὺς Ἀθηναίους λόγον μέχρι τοῦδε πεποιημένον, E νῦν πρὸς τοὺς Λάκωνας ἀναστραφεῖσα, αὐτοὺς προσαγορεύει, καὶ πρὸς διαλλαγὰς παραινεῖ. Περικλείδας.] τούτου μνημονεύει ὁ Πλούταρχος, ἐν τῷ τοῦ Κίμωνος βίῳ, καὶ τήνδε τὴν ἱστορίαν διεξοδικῶς διηγησάμενος οὕτω γράφει. Πέμπουσιν οὖν οἱ Λακεδαιμόνιοι Περικλείδαν εἰς Ἀθήνας, δεόμενοι βοηθεῖν, ὅν φησι κωμῳδῶν Ἀριστοφάνης καθεζόμενον ἐπὶ τοῖς βωμοῖς, ὠχρὸν ἐν φοινικίδι, στρατιὰν ἀπαιτεῖν. ἱκέτης δέ, κατὰ τὸν Σουΐδαν, ὁ δουλοπρεπῶς παρακαλῶν, καὶ δεόμενος περί τινος. Ἐν φοινικίδι.] F φοινικίς, ἐσθῆτος εἶδος. Ἀριστοτέλης δέ φησι χρῆσθαι τοὺς Λακεδαιμονίους φοινικίδι πρὸς τοὺς πολέμους. τοῦτο μὲν, ὅτι τὸ τῆς χρόας ἀνδρεικόν. τοῦτο δέ, ὅτι τὸ τοῦ χρώματος αἱμοπετῶδες, τὸ τῆς τοῦ αἵματος ῥεύσεως καταφρονεῖν ἐθίζει. παίζει δὲ ὁ Κωμικὸς ἐν τῇ τῶν λέξεων ἀντιθέσει, ὠχρὸς ἐν φοινικίδι. Ἡ δὲ Μεσσήνη.] Μεσσήνη, ὥς φησιν Εὐστάθιος, ἐπὶ τῶν Τρωϊκῶν ὑπὸ Μενελάῳ ἦν, μέρος οὖσα τῆς Λακωνικῆς. ὕστερον δὲ ἡ πόλις ἐκλήθη ἡ Μεσσήνη. ἦσαν δὲ Μεσσήνιοι πλησιόχωροι τοῖς Λακεδαιμονίοις, καὶ πολέμιοι. Χ' ὦ θεὸς σείων.] καὶ ὁ θεὸς σείων. περίφρασις G τοῦ Ποσειδῶνος, ὃς σεισίχθων ἐπιθετικῶς καλεῖται. περὶ δὲ τούτου τοῦ ἐν Λακεδαίμονι σεισμοῦ, καὶ χασμάτων δι' αὐτοῦ ἐν τῷ προρρηθέντι Πλουτάρχου τόπῳ μνήμη ποιεῖται. Δῃοῦτε] δῃοῦν, δαΐειν, τέμνειν, κακοῦν, καὶ πολεμικῶς διατίθεσθαι. οὕτω δὲ τοῦτο σχηματίζεται. δαΐω, ὃ δηλοῖ τὸ τέμνω, τὸ κείρω, καὶ καίω, καὶ ἅπτω, τὸ κακῶ, καὶ λάμπω, κατὰ διάλυσιν δαΐω. ὅθεν τὸ δάϊος. καὶ κατὰ τροπὴν τοῦ α εἰς η δήϊος, ὁ τμητικὸς, ὁ πολεμικός. ἐνίοτε καὶ ὁ ἔμπειρος. ἔστι γὰρ τὸ δαίειν, ὅθεν δαέω, ῶ, δάημι, τὸ εἰδέναι, καὶ ἐπίστασθαι σημαίνει. καὶ δαήμων, ὁ ἐπιστήμων. καὶ δαημοσύνη, ἡ ἐπιστήμη, καὶ ἐμπειρία. ἐκ δὲ τοῦ δήϊος, τὸ ῥῆμα δηϊοῦν. καὶ κατὰ συναίρεσιν δῃοῦν, δῃώσω. τὸ δέ, ἧς ὑπ' εὖ, ἀντὶ τοῦ ὑφ' ἧς εὖ πεπόνθατε. Ἀδικοῦμες.] ἀδικοῦμεν. τὰ δὲ ἑξῆς ἀσάφειαν ἔχει μεγάλην. τινὲς μέντοι, διὰ τοῦδε τοῦ κακεμφάτου, τῇ τῶν λέξεων παρονομασίᾳ, ἢ ποιᾷ τινὶ σχήματος ὁμοιότητι, τὸν Κωμικὸν νῦν αἰνίττειν βούλεσθαι νομίζουσι χωρίον τι, περὶ οὗ οἵ τε Ἀθηναῖοι, καὶ οἱ Λάκωνες ἀμφισβητοῦντες ἐπολέμησαν. ὅπερ οὐκ ἀπίθανον. οὕτω γὰρ ἔστι κάτω τὴν Πύλον, ἔγκυκλον καλεῖ. καὶ τὰ Μεγαρικὰ σκέλη λέγει, διὰ τὴν ὁμοιότητα σχήματος δηλαδή. ἀλλὰ τί ποτε τοῦτο εἴη, ὃ ἐνταῦθα νοητέον, οὐ ῥᾴδιόν ἐστι τεκμαίρεσθαι. ἄφατον δὲ Ἡσύχιος ἑρμηνεύει, ἀμήχανον, πολύ, ἄρρητον, ἀμέτρητον, δεινόν. ἔστι ἄφατος, ἀνεκφώνητος, θαυμάσιος, καταπληκτικός. Ἄλλως. διὰ τούτων ἴσως τὴν τῶν Λακώνων ἀσέλγειαν ὁ ποιητὴς ὑποδηλῶσαι θέλει, αἰνιττόμενος τὴν τῆς Ἀσπασίας, ἧς Περικλῆς ἐράσθη, ἁρπαγήν. ὅπερ ἀρχὴν τοῦ πολέμου γεγενῆσθαι, ἐν τοῖς Ἀχαρνεῦσιν ἔφη, οὕτω λέγων,

Κἀντεῦθεν ἀρχὴ τοῦ πολέμου κατερράγη
Ἕλλησι πᾶσιν ἐκ τριῶν λαικαστριῶν.

Οὕτως οὖν καὶ ἐνταῦθα νοητέον φαίνεται, ὁ Λάκων τὸ ἀδίκημα ὁμολογούμενος, ἅμα καὶ τὴν τούτου αἰτίαν ἀπολογεῖται, τὸ γυναικεῖον κάλλος, ὥσπερ ἂν εἰ λέγοι, ὁμολογοῦμεν ἡμᾶς ἠδικηκέναι, ἀλλὰ τὸ κάλλος ἀναπειστήριόν τι, καὶ ἐπαγωγόν ἐστιν, ᾧ οὐ ῥᾳδίως τις ἀντέχοι. Κωμικώτερον